## Burton & Goodspeed # 94: On Offences

| Matthew 18:6-10 | Mark 9:42-50 |
|---|---|
| **Matthew 18:6** | **Mark 9:42** |
| Ὃς δ’ ἂν σκανδαλίσῃ ἕνα | Καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα |
| τῶν μικρῶν τούτων | τῶν μικρῶν τούτων |
| τῶν πιστευόντων εἰς ἐμέ, | τῶν πιστευόντων [εἰς ἐμέ], |
| συμφέρει αὐτῷ | καλόν ἐστιν αὐτῷ μᾶλλον |
| ἵνα κρεμασθῇ μύλος ὀνικὸς | εἰ περίκειται μύλος ὀνικὸς |
| περὶ τὸν τράχηλον αὐτοῦ | περὶ τὸν τράχηλον αὐτοῦ |
| καὶ καταποντισθῇ | καὶ βέβληται |
| ἐν τῷ πελάγει τῆς θαλάσσης. | εἰς τὴν θάλασσαν. |
| **7** οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν | |
| σκανδάλων· | |
| ἀνάγκη γὰρ | |
| ἐλθεῖν τὰ σκάνδαλα, | |
| πλὴν οὐαὶ τῷ ἀνθρώπῳ | |
| δι’ οὗ τὸ σκάνδαλον ἔρχεται. | |
| **8** Εἰ δὲ | **43** Καὶ ἐὰν σκανδαλίζῃ σε |
| ἡ χείρ σου | ἡ χείρ σου, |
| ἢ ὁ πούς σου σκανδαλίζει σε, | |
| ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ | ἀπόκοψον αὐτήν· |
| σοῦ· | |

| | |
|---|---|
| καλόν σοί ἐστιν | καλόν ἐστίν σε |
| εἰσελθεῖν εἰς τὴν ζωὴν κυλλὸν | κυλλὸν εἰσελθεῖν εἰς τὴν ζωὴν |
| ἢ χωλὸν | |
| ἢ δύο χεῖρας ἢ δύο πόδας | ἢ τὰς δύο χεῖρας |
| ἔχοντα | ἔχοντα |
| βληθῆναι | ἀπελθεῖν εἰς τὴν γέενναν, |
| εἰς τὸ πῦρ τὸ αἰώνιον. | εἰς τὸ πῦρ τὸ ἄσβεστον. |
| | **45** καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, |
| | ἀπόκοψον αὐτόν· |
| | καλόν ἐστίν σε |
| | εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν |
| | ἢ τοὺς δύο πόδας ἔχοντα |
| | βληθῆναι εἰς τὴν γέενναν. |
| **9** καὶ εἰ ὁ ὀφθαλμός σου | **47** καὶ ἐὰν ὁ ὀφθαλμός σου |
| σκανδαλίζει σε, | σκανδαλίζῃ σε, |
| ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· | ἔκβαλε αὐτόν· |
| καλόν σοί ἐστιν μονόφθαλμον | καλόν σέ ἐστιν μονόφθαλμον |
| εἰς τὴν ζωὴν εἰσελθεῖν | εἰσελθεῖν εἰς τὴν βασιλείαν |
| | τοῦ θεοῦ |
| ἢ δύο ὀφθαλμοὺς ἔχοντα | ἢ δύο ὀφθαλμοὺς ἔχοντα |
| βληθῆναι εἰς τὴν γέενναν | βληθῆναι εἰς τὴν γέενναν, |
| τοῦ πυρός. | |
| | **48** ὅπου ὁ σκώληξ αὐτῶν |

| | |
|---|---|
| **10** Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. | οὐ τελευτᾷ<br>καὶ τὸ πῦρ οὐ σβέννυται.<br>**49** πᾶς γὰρ πυρὶ ἁλισθήσεται.<br>**50** Καλὸν τὸ ἅλας·<br>ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται,<br>ἐν τίνι αὐτὸ ἀρτύσετε;<br>ἔχετε ἐν ἑαυτοῖς ἅλα καὶ<br>εἰρηνεύετε ἐν ἀλλήλοις. |

Matthew: 155 – 8 = 147 Mark: 159 – 10 = 149 Identical: 118/296 = 39.86%